cμερδαλέαν φωνὰν ἱεῖcαι,
Τιρύνθιον ἄcτυ λιποῦcαι
καὶ θεοδ|μάτουc ἀγυιάc.
ἤδη γὰρ ἔτοc δέκατον
θεοφιλὲc λιπόντεc Ἄργοc
ναῖον ἀδειcιβόαι
χαλκάcπιδεc ἡμίθεοι
cὺν πολυζήλωι βαcιλεῖ.
νεῖκοc γὰρ ἀμαιμάκετον
βληχρᾶc ἀνέπαλτο καcιγ|νητοῖc ἀπ' ἀρχᾶc
ol 25 (21) Προίτωι τε καὶ Ἀκ|ριcίωι·
λαούc τε διχοcταcίαιc
ἤρειπον ἀμετ|ροδίκοιc μάχαιc τε λυγ|ραῖc.
λίccοντο δὲ παῖδαc Ἄβαντοc
γᾶν πολύκ|ριθον λαχόνταc
Τίρυνθα τὸν ὁπ|λότερον
κτίζειν, πρὶν ἐc ἀργαλέαν πεcεῖν ἀνάγκαν·
Ζεύc τ' ἔθελεν Κρονίδαc
τιμῶν Δαναοῦ γενεὰν
καὶ διωξίπποιο Λυγκέοc
παῦcαι cτυγερῶν ἀχέων.
τεῖχοc δὲ Κύκ|λωπεc κάμον
ἐλθόντεc ὑπερφίαλοι κλεινᾶι π[όλ]ει
κάλλιcτον, ἵν' ἀντίθεοι
ναῖον κλυτὸν ἱππόβοτον
Ἄργοc ἥρωεc περικ|λειτοὶ λιπόντεc.
ἔνθεν ἀπεccύμεναι
Προίτου κυανοπ|λόκαμοι